Πολλὰ γὰρ ἠνεσχόμην,
Πράγματά τε καὶ στιβάδας ἃς ἔλαχε Φορμίων,
Κοὐκέτ᾽ ἄν με εὕροις δικαστὴν δριμὺν οὐδὲ δύσκολον.
Οὐδὲ τοὺς τρόπους γε δήπου σκληρὸν ὥσπερ καὶ πρὸ τοῦ,
Ἀλλ᾽ ἁπαλόν γ᾽ ἄν με ἴδοις,
Καὶ πολὺ νεώτερον, ἀπαλλαγέντα πραγμάτων.
Καὶ γὰρ ἱκανὸν χρόνον ἀπολλύμεθα καὶ κατατετρίμμεθα πλανώμενοι
Ἐς Λύκειον, κἀκ Λυκείου
Σὺν δορὶ σὺν ἀσπίδι τε
Ἀλλ᾽ ὅ, τι μάλιστα χαριούμεθα ποιοῦντες, ἄγε
Φράζε, σὲ γὰρ αὐτοκράτορ᾽ εἵλετ᾽ ἀγαθή τις ἡμῖν τύχη.

A *Nam toleraui mala*
*Plurima, segestriaque Phormio quibus fuit:*
*Nec seuerum postea me iudicem, vel tetricum*
*Dixeris, nec præditum asperis, vt ante, moribus,*
*Sed facilem inueneris,*
*Et magis adhuc iuuenem,*
B *Anxietas si perit*
*Iamque satis atque nimis*
*Occidimus & penitus opprimimur, heu vagi*
*Dum frequentamus Lyceum*
*Cum clypeo & hasta habili.*
*Porrò age quid est tibi quod efficere possumus,*
*Expedi, age, nam bona sors*
*Te voluit esse nobis ducem.*

Σχόλια. Εἰ γάρ μοι γένοιτο.] κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ στίχων καὶ κώλων ιε. ὧν ὁ πρῶτος τροχαϊκὸς τετράμετρος καταληκτικός. τὸ β ἑφθημιμερές. ὁ τρίτος παιωνικὸς τετράμετρος ἀκατάληκτος ἐκ παιώνων καὶ κρητικῶν. καὶ ὁ ι καὶ ιγ οἱ ἑξῆς δύο ὅμοιοι τῷ πρώτῳ. τὸ ς δὲ καὶ η τῷ β. τὸ ζ. παιωνικὸν δίρρυθμον. καὶ τὸ θ καὶ ιδ. τὸ δὲ ια δίμετρον τροχαϊκόν. τὸ τελευταῖον παιωνικὸν τείρρυθμον, ὑφ᾽ ὃ κορωνίς.

Bisetus. Εἰ γὰρ] εἴθε γάρ. εὐχή.

Σχόλια. Στιβάδας ἃς ἔλαχεν.] ἰδίως στιβάδας τὰς χαμευνίδας ἐκάλουν. ὅπερ ἦν πάσχειν ἐπάναγκες τοῖς πολεμοῦσιν, ὑπαιθρίους ταλαιπωρεῖν καὶ χαμαικοιτεῖν. στιβάδας οὖν ἐπεὶ οἱ στρατιῶται χαμαικοιτοῦσι. λέγεται δὲ ὁ Φορμίων νικῆσαι ναυμαχίαις β Λακεδαιμονίους, στρατηγήσας. λιτὸς δὲ ἦν καὶ στρατιωτικός. τὸ δὲ ἃς ἔλαχεν, ἀντὶ τοῦ ἃς ὑπέμεινε Φορμίων.

CHR. Εἰ γάρ μοι.] Hic Coronis est, & εἴσθεσις Chori monostrophica constans xv. versibus, quorum primus Trochaicus est Tetrameter Catalecticus instar præcedentium, Secundus ἑφθημιμερὴς, Tertius Pæonicus Tetrameter Acatalecticus ex Pæonibus & creticis, Decimus & tertius deci-

C mus similes primo, sextus & octauus secundo, septimus cum nono & decimoquarto Pæonicus δίρρυθμος, vndecimus dimeter Trochaicus, vltimus Pæonicus τείρρυθμος, deinde coronis. Στιβάδας ἃς ἔλαχε Φορμίων] sub dio & humi iacere militaris mos erat, toros στιβάδας à calcando dixerunt. Ipse Hector sic dure & molestè in militia se se habuit, vt coleret χαμεύνας φυλλοστρώτους, vt est apud Rhesum, quem non Euripidi doctiores sed sophocli
D tribuunt, & olere videtur Characterem sophocleum. De hoc Phormione duræ etiam & præfractę vitæ qui dux olim nauali prelio bis vicit Lacedęmonios meminit Pausanias in Atticis, & Asopichi cuiusdam filium facit.

Σχόλια. Καὶ πολὺ νεώτερον.] ἐπεὶ γέρων ὁ χορός. λέγει ὅτι πολὺ νεώτερον ἔχοντα τρόπον θεάσῃ με ἀντὶ τοῦ παίζοντα. Καὶ γὰρ ἱκανὸν χρόνον.] ιγ γὰρ εἶχον ἔτη πολεμοῦντες. πολλὴν φησὶ θλῖψιν ὑπεμείναμεν εἰς τὸ Λύκειον εἰσιόντες καὶ συναγόμενοι, καὶ πάλιν ἐξιόντες ἐκ τοῦ
E Λυκείου καὶ ἀπιόντες εἰς τὴν πόλιν. τὸ Λύκειον δὲ, γυμνάσιον Ἀθήνησιν, ὅπου πρὸ τοῦ πολέμου ἐδόκουν γυμνάζεσθαι.

Biset. ΣΥΣΤΗΜΑ κατὰ περικοπὴν ἀνομοιομερὲς ἰαμβείων κβ.

Τρ. Φέρε δὴ κατίδω ποῖ τοὺς λίθους ἀφέλξομεν.
Ερ. Ὦ μιαρὲ καὶ τολμηρὲ τί ποιεῖν διανοεῖ;
Τρ. Οὐδὲν πονηρὸν, ἀλλ᾽ ὅπερ καὶ Κιλλικῶν.
Ερ. Ἀπόλωλας ὦ κακόδαιμον. Τρ. Οὐκοῦν ἢν λάχω.
Ἑρμῆς γὰρ ὢν κλήρῳ ποιήσεις οἶδ᾽ ὅτι.
Ερ. Ἀπόλωλας, ἐξόλωλας. Τρ. Ἐς τίν᾽ ἡμέραν.
Ερ. Ἐς αὐτίκα μάλ᾽. Τρ. Ἀλλ᾽ οὐδὲν ἠμπόληκά πω,
Οὔτ᾽ ἄλφιτ᾽ οὔτε τυρὸν, ὡς ἀπολούμενος.
Ερ. Καὶ μὴν ἐπιτέτριψαί γε. Τρ. Κᾆτα τῷ τρόπῳ
Οὐκ ᾐσθόμην ἀγαθὸν τοσουτονὶ λαβών;

F TRY. *Sed viso quorsum saxa dimouebimus.*
*MER. scelestè & audax quale facinus destinas?*
*TRY. Nihil sinistri, sed quod olim Cillicon.*
*MER. Miser periisti. TRY. si quidem id sors iusserit:*
*Nam sorte, cùm sis Mercurius, facturus es.*
*MER. At occidisti, nullus es. TRY. In quam diem?*
G *MER. Iam mox. TRY. Tamen nil comparaui casei,*
*Nihil farinæ mortis ad viaticum.*
*MER. Penissumè deuotus es. TR. Quo fit modo*
*Vt istud acceptum bonum nec senserim?*

Ερ.